βειαν, ἐὰν ἐφ᾽ ἑνὸς ταράττηται καὶ σαλεύηται τὸ βέβαιον αὐτῆς καὶ νενομισμένον, ἐπισφαλὴς γίνεται πᾶσι καὶ ὕποπτος. ἀκούεις δὲ δήπου τὸν Εὐριπίδην ὡς ἐθορυβήθη ποιησάμενος ἀρχὴν τῆς Μελανίππης ἐκείνην (fr. 480)

῾Ζεύς, ⟨ὅστις ὁ Ζεύς,⟩ οὐ γὰρ οἶδα πλὴν λόγῳ,᾽

μεταλαβὼν δὲ χορὸν ἄλλον (ἐθάρρει ⟨γὰρ⟩ ὡς ἔοικε τῷ C δράματι γεγραμμένῳ πανηγυρικῶς καὶ περιττῶς) ἤλλαξε τὸν στίχον ὡς νῦν γέγραπται (fr. 481)

῾Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο.᾽

τί οὖν διαφέρει τὴν περὶ τοῦ Διὸς δόξαν ἢ τῆς Ἀθηνᾶς ἢ τοῦ Ἔρωτος εἰς ἀμφίβολον τῷ λόγῳ θέσθαι [ἢ] καὶ ἄδηλον; οὐ γὰρ νῦν αἰτεῖ πρῶτον βωμὸν ὁ Ἔρως καὶ θυσίαν οὐδ᾽ ἔπηλυς ἔκ τινος βαρβαρικῆς δεισιδαιμονίας, ὥσπερ Ἄτται τινὲς καὶ Ἀδωναῖοι λεγόμενοι, δι᾽ ἀνδρογύνων καὶ γυναικῶν παραδύεται [καὶ] κρύφα τιμὰς οὐ προσηκούσας καρπούμενος, ὥστε παρεισγραφῆς δίκην φεύγειν καὶ νοθείας τῆς ἐν θεοῖς. Ἀλλ᾽ ὅταν Ἐμπεδοκλέους (fr. 17, 20) D ἀκούσῃς λέγοντος, ὦ ἑταῖρε,

῾καὶ Φιλότης ἐν τοῖσιν ἴση μῆκός τε πλάτος τε,
τὴν σὺ νόῳ δέρκου, μηδ᾽ ὄμμασιν ἧσο τεθηπώς᾽,

ταῦτ᾽ οἴεσθαι χρὴ λέγεσθαι ⟨καὶ⟩ περὶ Ἔρωτος· οὐ γάρ ἐστιν ὁρατός, ἀλλὰ δοξαστὸς ἡμῖν ὁ θεὸς οὗτος ἐν τοῖς πάνυ παλαιοῖς· ὧν ἂν περὶ ἑκάστου τεκμήριον ἀπαιτῇς,